## 01 SEPTEMBRIE
## ANTONIOS MARKOU

# PARACLISUL ANULUI NOU BISERICESC



## PARACLISIERUL PE SEPTEMBRIE-GR


IC XC
„PORUNCĂ NOUĂ VĂ
DAU VOUĂ: SĂ VĂ IUBIȚI
UNUL PE ALTUL. AȘA CUM
V-AM IUBIT ȘI EU PE VOI.”

# Παρακλητικός Κανών πρός τόν ΚΗΙΧ κατά τῆς ἀνεργίας

## Ποίημα Ἀντώνιος Μάρκου

Εὐλογήσαντος τοῦ Ἱερέως (ἤ ἐπί ἀτομικῆς προσευχῆς μετά τό Δι᾽ εὐχῶν), ὁ ρμβ' (142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος δ'. Ὁ ὑψωθείς ἐν τῷ σταυρῷ.

Καταθλιβόμενος δεινῇ ἀνεργίᾳ,* ὑπό τό κράτος ἀπεχθοῦς δέ πτωχείας* διατελῶν, προσέρχομαί Σοι Λόγε Χριστέ,* δέχου τῆς ἀχράντου Σου* Μητρός ἱκέσιον λόγον,* ἅμα τῶν Ἁγίων Σου* τῶν ἀπ᾽ αἰῶνος φανέντων* καί ἐργασίαν δώρησαι ἐμοί* τῷ τρυχομένῳ* τοῦ βίου ταῖς θλίψεσι.

Δόξα. Ὅμοιον.

Ὁ Σός Πατήρ, ὁ ἐργαζόμενος ἄρτι,* καθώς Σύ λέγεις ἐν τῷ Εὐαγγελίῳ,* ἐπικαμφθήτω ἐφ᾽ ἡμᾶς τῇ μεσιτείᾳ Μητρός,* Λόγε, τῆς Ἀχράντου Σου* καί ἀπ᾽ αἰώνων Σῶν φίλων,* οἵτινες ἠργάσθησαν* πρός ψυχῶν σωτηρίαν,* καί ἐργασίαν ἄνωθεν ἡμῖν* Αὐτοῦ τοῖς δούλοις* ὀμβρήσῃ, ὡς Εὔσπλαχνος.

Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἐργαζομένη διά βίου, Παρθένε,* ἤσθω ἐν κόσμῳ, τά τοῦ οἴκου Σου πάντα* ἔχουσα ἐν τάξει, Κυρία τῶν Οὐρανῶν·* ὅθεν τοῖς ἀνέργοις Σύ* δώρησαι τήν ἐργασίαν,* ἵνα ἐργαζόμενοι* ἀνάγκας πάσας τοῦ βίου*

καλύπτουσι· δόξαν δέ Σοι τῇ Μητρί* τοῦ Ἐλεήμονος* ᾄσμασι δίδουσι.

Ὁ Ν΄ (50) Ψαλμός.

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς ἐν τοῖς Θεοτοκίοις· *Ἀντωνίου.*

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Δέσποτα Χριστέ ἐλέησον τόν δοῦλον Σου.

Ἐλέους προσπίπω τῷ χορηγῷ,* διά τῆς Θεοτόκου* καί Ἁγίων τε τοῦ χοροῦ,* ἐλέησον Χριστέ τῷ θλιβομένῳ* ἀναβοῶν, ἀνεργίας προβλήματι.

Δέσποτα Χριστέ ἐλέησον τόν δοῦλον Σου.

Ἐργάζεται ἕως ἄρτι ἐμός Πατήρ* Σύ εἶπας, Λόγε,* τοῦ Πατρός ὁ Μονογενής,* διό τῆς ἐργασίας Σύ τό δῶρον* τῷ τρυχωμένῳ κατάπεμψον δούλῳ Σου.

Δόξα.

Ἐργάζεσθαι δεῖ με, Δημιουργέ,* καί φυλάσσειν κῆπον* εἶπας ὄντα με ἐν Ἐδέμ·* ἐλέησον, Δέσποτα, Σόν δοῦλον* καί ἀνεργίας τό ἄχθος Σύ ἔπαρον.

Καί νῦν. Θεοτοκίον.

Ἀγκάλας διάνοιξον μητρικάς,* ὡς πάλαι ἐν κόσμῳ* τόν Υἱόν Σου Σαῖς μητρικαῖς* ἐβάστασας ἀγκάλαις, Θεοτόκε,* καί ἐργασίαν ἐπόμβρησον δούλοις Σου.

Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.

Δέσποτα Χριστέ ἐλέησον τόν δοῦλον Σου.

Ἀνεργίας τό ἄχθος* ἀπό τοῦ δούλου Σου ἔπαρον* Σῆς Μητρός σεπτῇ μεσιτείᾳ* Εὔσπλαχνε Κύριε·* ὑγιείαν δώρησαι δέ* είς τό ἐργάζεσθαι, ὅτι* ἅπαντες ὀφείλομεν* σεμνῶς ἐργάζεσθαι.

Δέσποτα Χριστέ ἐλέησον τόν δοῦλον Σου.

Ἐκ τῆς Ἐδέμ παραβάντα* ὁ Θεός με ἐξέβαλες,* μᾶλλον δέ ἐγώ ἐξεβλήθην* τῷ ἀτοπήματι,* καί κατεδίκασας* τήν γῆν ἐργάζεσθαι, Λόγε,* τρώγειν δέ τόν ἄρτον μου* κόπῳ ἱδρῶτι τε.

Δόξα.

Ξένης τε τῆς Ῥωσίας* θερμῇ πρεσβείᾳ ἐλέησον,* ὅτι ταύτῃ δέδωκας Σῶτερ* τό θεῖον χάρισμα* τοῦ ἐλεεῖν τούς πτωχούς,* παραμυθεῖσθαι ἀνέργους,* ἐργασίαν πρόσφορον* τούτοις παρέχουσα.

Καί νῦν. Θεοτοκίον.

Ναόν θεῖον με δεῖξον* Ἁγίου Πνεύματος, Πάναγνε,* τῇ τῶν ἀρετῶν ἐργασίᾳ* είς ἥν ἐνίσχυσον* τῇ μεσιτείᾳ Σου,* ἐπευλογοῦσα, Παρθένε,* ἔργα τῶν χειρῶν ἐμῶν* ἀεί τά μένοντα.

Ἐπάκουσον* ἡμῶν δεήσεως, Λόγε,* καί ἐργασίαν παράσχου τοῖς Σοῖς δούλοις,* τοῖς αἰτουμένοις ἀπό Σοῦ* ἐλέους Σου ἐπομβρίαν.

Δεήθητι* τῷ Σῷ Υἱῷ, Θεοτόκε,* ἵνα λύσῃ δεσμά ἡμῶν τῆς ἀνεργίας,* δωρούμενος τό δῶρον* τῆς ἐργασίας πᾶσι.

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.

Κυρίου Μητρί* ἀχράντῳ οἱ δεόμενοι* ἐλέους, πιστοί,* ἐν πόθῳ καταφύγωμεν* ἀπό ψυχῆς αἰτούμενοι* ἐργασίαν οἱ τάλαινες* καί λύτρωσιν ἐκ πειρασμοῦ* τῆς ἀνεργίας, Αὐτῆς οἱ θεράποντες.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Δέσποτα Χριστέ ἐλέησον τόν δοῦλον Σου.

Ἐργασίαν μοι δώρησαι* τῇ πανσθενουργῷ καί ἁγίᾳ πρεσβείᾳ σου,* Σεβαστείας Πάτερ Βλάσιε* Ἀρχιθύτα σεπτέ, πρός τόν Κύριον.

Δέσποτα Χριστέ ἐλέησον τόν δοῦλον Σου.

Ἐμοί δέ λίαν, ὁ Θεός,* ἐτιμήθησαν ἐν δόξῃ οἱ Φίλοι Σου·* τῇ πρεσβείᾳ αὐτῶν, Φιλάνθρωπε,* ἐργασίᾳ ἐλέησον καί σῶσον με.

Δόξα.

Ὁ ἐργάτας μισθώσασθαι* ἐξελθών διά τόν Ἀμπελῶνα Σου* ἐργασίαν, Λόγε, δίδου μοι* καί ὑγιείαν ἵνα ἐργάζωμαι.

Καί νῦν. Θεοτοκίον.

Τιμίως ἐργάζεσθαι,* ἐν ταυτῷ καί τρώγειν τόν ἄρτον μου,* ἐλεεῖν δέ καί τούς πένητας,* Σύ, ὦ Μήτερ τοῦ Κυρίου, ἐμοί δώρησαι.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Δέσποτα Χριστέ ἐλέησον τόν δοῦλον Σου.

Ῥῶσιν καὶ ἰσχύν* ἡμῖν δίδου, Σῶτερ, ἄνωθεν,* ὡς ἂν πράττωμεν τὸ θέλημα τό Σόν* τὸ εὐάρεστον ἐν πᾶσι καὶ σωτήριον.

Δέσποτα Χριστέ ἐλέησον τόν δοῦλον Σου.

Ἅγιε Μηνᾶ,* τῆς Αἰγύπτου γόνε πάνσεπτε,* σοί προσπίπτω καί αἰτοῦμαι εὐλαβῶς* ἐργασίας ἀναγκαίας τήν ἀνεύρεσιν.

Δόξα.

Μάρτυρος τοῦ Σοῦ* Φανουρίου ταῖς δεήσεσιν* ἐργασίαν νῦν φενέρωσον, Χριστέ,* καί ἐργάζεσθαι τόν δοῦλον Σου ἐλέησον.

Καί νῦν. Θεοτοκίον.

Ὥρᾳ μηδέ μιᾷ* μένειν ἄνεργον, Πανάχραντε,* μή ἐάσῃς τόν Σόν δοῦλον, Ἀγαθή,* καί ζωήν αὐτοῦ εἰς χεῖρας Σου ἀνάλαβε.

ᾨδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Δέσποτα Χριστέ ἐλέησον τόν δοῦλον Σου.

Ὡς ἥλιος* τῇ ζωῇ μου ἀνάτειλον* πενομένων ὁ προστάτης ὁ θεῖος,* Ἱεραρχῶν ἐγκαλλώπισμα μέγα,* Ἀρχιεράρχα Μύρων Νικόλαε·* σοῦ δέομαι, θραῦσον ἐμῆς* ἀνεργίας ζοφώδη σκοτόμαιναν.

Δέσποτα Χριστέ ἐλέησον τόν δοῦλον Σου.

Κυμάτων* τῶν χαλεπῶν τῶν τοῦ βίου* κυβερνήσει σου ἐξάρπασον θείᾳ,* τοὺς ἀνεργείᾳ θαλαττεύοντας, Πάτερ,* καὶ πρὸς γαλήνης λιμένα ἀχείμαστον* τοὺς ἀφορῶντας ἀκλινῶς* πρὸς τὴν σὴν, ὦ Σπυρίδων, βοήθειαν.

Δόξα.

Ὑπάρχων* φωτὸς ἀνάπλεως Μάρτυς* Γεώργιε, ὡς φωστὴρ καταυγάζεις* τῆς Ἐκκλησίας τὸ πλήρωμα

ἅπαν,* καί τῶν πτωχῶν ἐντυγχάνεις ὑπέρμαχος·* δεόμεθά σου καί ἡμᾶς* ἐξ ἀνεργίας ἐρέβους ἀνάστησον.

Καί νῦν. Θεοτοκίον.

Νεκτάριε,* Αἰγίνης προστάτα,* ἀπομάκρυνον τῇ σῇ ἐπιστασίᾳ* τῆς ἀνεργίας τό ἄχθος, πρεσβεύων* τῇ Θεοτόκῳ, Ἥν μεγάλως ἀνύμνησας,* Αὐτῆς Υἱοῦ τε καί Θεοῦ* ὡς ἂν λάβωμεν χάριν καὶ ἔλεος.

Ἐπάκουσον* ἡμῶν δεήσεως, Λόγε,* καί ἐργασίαν παράσχου τοῖς Σοῖς δούλοις,* τοῖς αἰτουμένοις ἀπό Σοῦ* ἐλέους Σου ἐπομβρίαν.

Δεήθητι* τῷ Σῷ Υἱῷ, Θεοτόκε,* ἵνα λύσῃ δεσμά ἡμῶν τῆς ἀνεργίας,* δωρούμενος τό δῶρον* τῆς ἐργασίας πᾶσι.

Κοντάκιον. Ἦχος β'. Πρεσβεία θερμή.

Πρεσβείαις ταῖς Σαῖς* πρός Κύριον, Πανάχραντε,* ὡς Μήτηρ Αὐτοῦ,* ἀνεργίας τῆς θλίψεως* ἡμᾶς ἀτρώτους διαφύλαττε,* ὡς μήτηρ πτωχῶν καί πρόμαχος,* ἵνα ῥυσθῶμεν αὐτῆς τῆς ἀπειλῆς,* ὕμνον Σοί κροτοῦντες ἱκέσιον.

Προκείμενον. Ἦχος δ'. Ψαλμὸς ξ'. *Εἰσάκουσον, ὁ Θεός, τῆς δεήσεώς μου, πρόσχες τῇ προσευχῇ μου* (ξ' 2).

Στ. α'. *Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς Σὲ ἐκέκραξα, ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου* (ξ' 3).

Στ. β΄. *Ἐν πέτρᾳ ὕψωσάς με, ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου, πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ* (ξ΄ 3-4).

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ. κ΄ 1-16· ζήτει τῇ Τετάρτῃ τῆς Θ΄ ἑβδομάδος τοῦ Ματθαίου).

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ὡμοιώθη ἡ Βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ· καὶ συμφωνήσας μετὰ τῶν ἐργατῶν ἐκ δηναρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ. Καὶ ἐξελθὼν περὶ τρίτην ὥραν εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ ἀργούς καὶ ἐκείνοις εἶπεν· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα καὶ ὃ ἐὰν ᾖ δίκαιον δώσω ὑμῖν. Οἱ δὲ ἀπῆλθον. Πάλιν ἐξελθὼν περὶ ἕκτην καὶ ἐνάτην ὥραν ἐποίησεν ὡσαύτως. Περὶ δὲ τὴν ἑνδεκάτην ἐξελθὼν εὗρεν ἄλλους ἑστῶτας ἀργούς καὶ λέγει αὐτοῖς· τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; Λέγουσιν αὐτῷ· ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο. Λέγει αὐτοῖς· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα καὶ ὃ ἐὰν ᾖ δίκαιον λήψεσθε. Ὀψίας δὲ γενομένης λέγει ὁ κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ· κάλεσον τοὺς ἐργάτας καὶ ἀπόδος αὐτοῖς τὸν μισθὸν ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων. Καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν ἔλαβον ἀνὰ δηνάριον. Ἐλθόντες δὲ οἱ πρῶτοι ἐνόμισαν, ὅτι πλείονα λήψονται καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον. Λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ

οἰκοδεσπότου λέγοντες, ὅτι οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας, τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα. Ὁ δὲ ἀποκριθεὶς εἶπεν ἑνὶ αὐτῶν· ἑταῖρε, οὐκ ἀδικῶ σε· οὐχὶ δηναρίου συνεφώνησάς μοι; Ἆρον τὸ σὸν καὶ ὕπαγε· θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί. Ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὃ θέλω ἐν τοῖς ἐμοῖς; Εἰ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι; Οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι καὶ οἱ πρῶτοι ἔσχατοι· πολλοὶ γὰρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.

Δόξα. Πάτερ, Λόγε, Πνεῦμα,* Τριάς ἡ ἐν Μονάδι,* ἐξάλειψον τά πλήθη* τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου* πρεσβείαις, Ἐλεῆμον,* ἐξάλειψον τά πλήθη* τῶν ἐμῶν ἐγκλημάτων.

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ. *Ἐλέησόν με, ὁ Θεός…*

Κύριε Φιλάνθρωπε,* ὁ τοῦ Πατρός Θεοῦ Λόγος,* ἐφ'ἡμᾶς ἔλεος* τοῖς κατατρυχομένοις κατάπεμψον·* εἰδεχθές ἄχθος γάρ* ἐφ' ἡμᾶς, Δέσποτα,* ἀνεργίας νῦν ἐπέπεσεν* καί τήν ζωήν ἡμῶν* εἰς κόλασιν πρό δίκης μετέβαλεν* καί δεινῇ καμίνῳ κακώσεως·* πρεσβείαις τῆς Μητρός Σου* καί Πάντων τῶν Ἁγίων Σου, Χριστέ,* τό ἔλεός Σου ἐπόβρησον* τοῖς αἰτοῦσι δούλοις Σου.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Δέσποτα Χριστέ ἐλέησον τόν δοῦλον Σου.

Θεόφρον Ἰωάννη* Ἐλεῆμον, ὑπάρχεις* πτωχῶν διάσωσμα·* ἀτρώτους ὅθεν τήρει* ἀπό τῆς ἀνεργίας* τοῦ πειρασμοῦ, τοὺς κραυγάζοντας·* ὁ τῶν Πατέρων ἡμῶν* Θεὸς, εὐλογητὸς εἶ.

Δέσποτα Χριστέ ἐλέησον τόν δοῦλον Σου.

Ἐλεήμονος Λόγου* μαθητά Ἐλεῆμον* σεπτέ Φιλάρετε,* τήν λύσιν ἀνεργίας* καὶ ἄφεσιν πταισμάτων* τοῖς ψάλλουσι δώρησαι·* ὁ τῶν Πατέρων ἡμῶν* Θεὸς, εὐλογητὸς εἶ.

Δόξα.

Λύσιν τῆς ἀνεργίας,* ἡμῶν καί τῆς πτωχείας* Ξένη ἐξαίτησαι* καί ταύτης προβλημάτων* συνεπειῶν δεινῶν τε* τῇ σῇ πρεσβείᾳ ἀπάλλαξον,* ὡς ἡμῶν ἀρωγός,* Ῥωσίας ἡ κοσμήτωρ.

Καί νῦν. Θεοτοκίον.

Ἱλέῳ ὄμματί Σου* ἐπίβλεψον, Παρθένε,* καί ἀνεργίας τό ἄχθος Σύ ἔπαρον,* πρεσβείαις πρός Υἱόν Σου,* ὁμοῦ Αὐτοῦ τῶν Φίλων* τῶν ἀπ' αἰῶνος, ὡς ἔχουσα* τήν παρρησίαν πρός Αὐτόν,* Κόρη Θεοκυῆτορ.

Ὠδὴ η'. Τὸν Βασιλέα.

Δέσποτα Χριστέ ἐλέησον τόν δοῦλον Σου.

Τήν ἐργασίαν* παράσχου Θεοπρομῆτορ* Ἄννα πάνσεπτε, τῷ τάλαινι βοῶντι,* ἵνα σε γεραίρω,* Ἰωακείμ ὁμοῦ τε.

Δέσποτα Χριστέ ἐλέησον τόν δοῦλον Σου.

Τῆς ἀνεργίας* ἡμᾶς ἀπήμονας τήρει,* Ἰωάννη Θηβῶν Καλοκτένη,* ὑπάρχων Ἐκκλησίας* ὁ νέος Ἐλεήμων.

Δόξα.

Τοῦ σοῦ ἐλέους* ἐπόμβρησον ῥανίδα* καί ἀνεργίας κατάσβεσον τήν φλόγα,* Ἰωάννη σεπτέ,* ἔκγονε τῆς Ῥωσίας.

Καί νῦν. Θεοτοκίον.

Ὄρος ὑπάρχον* θείας ἀγάπης, Παρθένε,* κυριότητα κατ'ἀνεργίας δίδου* τοῖς κατατρυχομένοις* αὐτῆς τῇ βίᾳ, Μῆτερ.

ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.

Δέσποτα Χριστέ ἐλέησον τόν δοῦλον Σου.

Ῥευστότητα ζωῆς μου* ἐλλείψει ἀσφαλείας* ἐξ ἐργασίας ἐλλείψεως δέομαι,* ἵνα καλύψῃς, Κορίνθου Μακάριε.

Δέσποτα Χριστέ ἐλέησον τόν δοῦλον Σου.

Γαλήνην ἐν τῷ βίῳ* καὶ ἐργασίαν αἴτει* τοῖς τρυχομένοις, Ἀντώνιε Ὅσιε,* ἐκ πειρασμῶν δέ θυέλλης τὴν ἀπολύτρωσιν.

Δόξα.

Μὴ παύσῃ ἐποπτεύων,* Γεράσιμε παμμάκαρ,* τοὺς ἀφορῶντας πρὸς σὲ μετὰ πίστεως* καί ἐργασίαν αἰτοῦσι, ζωῆς τε ἀσφάλειαν.

Καὶ νῦν. Θεοτοκίον.

Ὕμνου περατωθέντος* καί ἱκεσίας, Μῆτερ,* πρός τόν Υἱόν Σου τάς χεῖρας Σου ἔπαρον* και ἐργασίας τό δῶρον ἡμῖν δεδώρησαι.

Μεγαλυνάρια.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς* μακαρίζειν Σε τὴν Θεοτόκον,* τὴν ἀειμακάριστον καὶ παναμώμητον* καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.* Τὴν τιμιωτέραν τῶν Χερουβείμ* καὶ ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν Σεραφείμ,* τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν,* τὴν ὄντως Θεοτόκον* Σέ μεγαλύνομεν.

Ἐργάτην με δεῖξον τῶν ἀρετῶν* Μητρός Σου πρεσβείᾳ,* Πολυεύσπλαχνε Λυτρωτά·* ἐργάζεσθαι δέ πάντα πρός σωτηρίαν, Λόγε* καί ἐντολῶν Σου τρίβον* καλήν βαδίζειν με.

Ἐλέους ὑπάρχων ὁ χορηγός,* ἐλέει Σου, Σῶτερ,* ἐργασίαν δίδου ἡμῖν* τοῖς πρός Σε τάς χεῖρας ἐκτείνοντας καί ἄχθος* αὐτό τῆς ἀνεργίας* ἔπαρον, Δέσποτα.

Μητρός Σου πρεσβείαις τῶν θερμουργῶν* καί Πάντων Σῶν Φίλων,* ἐξαπόστειλον φῶς, Χριστέ,* δεινῆς ἀνεργίας τό σκότος διαλύων* καί πᾶσι ἀνατέλων* φῶς τοῦ ἐργάζεσθαι.

Θρόνῳ παριστάμενος τοῦ Χριστοῦ,* Ἀειπάρθενε Κόρη* Μήτηρ Τούτου ἡ συμπαθής,* πρέσβευε ἀπαύστως λυτροῦσθαι ἀνεργίας* τοὺς προσιόντας, Μῆτερ,* τῇ ἀντιλήψει Σου.

Μαξίμου πρεσβείαις ταῖς τοῦ Γραικοῦ,* Σάρωφ Σεραφείμ τε* καί Ματρώνης θαυματουργοῦ,* λῦσιν ἀνεργίας παράσχου πᾶσι, Λόγε,* δεχόμενος τήν τούτων* φωνήν ἱκέσιον.

Ἰακώβου τοῦ Πέρσου δέχου Χριστέ,* Θεοδώρων ὁμοῦ τε* Χαραλάμπους τοῦ εὐκλεοῦς,* ζήδωρον πρεσβείαν καί ἐργασίαν δίδου* τοῖς δούλοις Σου, τοῖς πίστει* πρός Σε προστρέχουσι.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,* Πρόδρομε Κυρίου,* Ἀποστόλων ἡ δωδεκάς,* οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου,* ποιήσατε πρεσβείαν* είς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄

Ἐλέησον ἡμᾶς,* Κύριε, ἐλέησον ἡμᾶς,* πάσης γὰρ ἀπολογίας ἀποροῦντες,* ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ,* οἱ ἁμαρτωλοί προσφέρομεν,* ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς,* ἐπί Σοὶ γὰρ πεποίθαμεν.* Μή ὀργισθῇς ἡμῖν σφόδρα,* μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν.* Ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος* καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.* Σὺ γὰρ εἶ Θεός ἡμῶν* καὶ ἡμεῖς λαός Σου,* πάντες ἔργα χειρῶν Σου* καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε,* ἐλπίζοντες είς Σέ μή

ἀστοχήσομεν,* ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων,* Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καί τῆς Ὑπεραγίας Θεοτόκου, ψάλλονται τὰ παρόντα Τροπάρια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Δέχου, Πολυεύσπλαχνε Χριστέ,* τῆς Ἀειπαρθένου Μαρίας* καὶ Θεομήτορος,* Πάντων τε Ἁγίων Σου πρεσβείαν ἔνθερμον,* πάσης βλάβης καὶ θλίψεως* καὶ πάσης ἀνάγκης* φυλάττων τούς δούλους Σου, τούς δεομένους Σοί,* ἀνεργίας τόν ὀγκόλιθον αἴρων* ὅς συνθλίβει νοῦν καί καρδίαν,* ὁ ὑπάρχων μόνος Πολυέλεος.

Δέσποινα πρόσδεξαι* τὰς δεήσεις τῶν δούλων Σου,* καὶ λύτρωσαι ἡμᾶς,* ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου* εἰς Σὲ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Στίχοι·

*Ἆρον ἀφ᾽ ἡμῶν τόν ζυγόν ἀνεργίας,*
*ὁ αἴρων τοῦ κόσμου τήν ἁμαρτίαν, Λόγε,*
*δεχόμενος Μητρός καί Πάντων τῶν Σῶν Φίλων*
*πρεσβείαν τήν θεοπειθῆ, τήν τρέπουσαν Σά σπλάχνα.*

Ἕτεροι·

*Παναγία ἐλέησον δοῦλον Σου Παναγιώτην*
*καὶ ἐργασίαν δός αὐτῷ καὶ σύνεσιν ἐν πᾶσι,*
*ἵνα εὐγνωμόνως ᾄδομεν Σοὶ τῇ Μητρί τοῦ Λόγου,*
*χαῖροις Σεπτή Παντάνασσα, ἀνέργων ἀντιλήπτωρ.*

